# TEZAUR LITURGIC

## 16 DECEMBRIE

# SLUJBA SF.MUCENIC MARIN DE LA ROMA

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 16 ΔΕΚΕΜΒΡΙΟΥ

# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΜΑΡΙΝΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εις το Κύριε εκέκραξα, ψάλλομεν τα εξής στιχηρά Προσόμοια, δευτερούντες αυτά. Ήχος δ’ . Ως γενναίον εν Μάρτυσιν.

Επί πέτραν την άσειστον, στερεώσας ο Κύριος, της αγίας πίστεως την καρδίαν σου, Μαρίνε Μάρτυς μακάριε, ισχύν υπερίσχυρον, δέδωκέ σοι κατ’ εχθρών, αδαμάντινον δύναμιν, ρώμην άρρηκτον, εναθλήσας διόπερ εν σταδίω, χαλεποίς κολαστηρίοις, θριαμβευτής αναδέδειξαι.

Θείω έρωτι ένδοξε, της Τριάδος πυρούμενος, του πυρός επ’ άνθρακας συ ριπτόμενος, ως επί ρόδα ηδύοσμα, Μαρίνε ελήλυθας, και αλώβυτος εκβάς, τω τυράννω ανέκραζες, αγαλλόμενος, εις αισχύνην αυτού και λοιδορίαν, ως αργύριον πυρούται, επύρωσάς με παράνομε.

Της αθλήσεως έπαθλον, Αθλοφόρε θαυμάσιε, τω λαμπρώς αθλήσαντι και νικήσαντι, τον των αθλούντων πανάθλιον, εχθρόν και πολέμιον, σοι δωρείται Αθλητά, βασιλείαν ουράνιον, δόξαν άφθαρτον, Αθλοφόρων ο μέγας Αθλοθέτης, οίδε γαρ αυτός τοιαύτας, αθλοθεσίας χαρίζεσθαι.

Δόξα. Ήχος πλ. β’ .

Εξήστραψε σήμερον η πανέορτος μνήμη, και πάντερπνος πανήγυρις του θαυμαστού αριστέως Μαρίνου του γενναιόφρονος, ου την εν ταις βασάνοις σταθερότητα ο Δικαστής εκπλαγείς, και άλλας μη ευρίσκων κολάσεις του τιμωρήσαι προσέτι, ξίφει την τούτου Κάραν αποτμηθήναι προσέταξε. Δεύτε ουν φιλέορτοι τον υπέρ της ευσεβείας στερρώς εναθλήσαντα, στέμασιν εφυμνίων αυτόν αναδήσωμεν λέγοντες· χαίροις Αθλοφόρε πολύτλητε, ο τον μεγάλαυχον δράκοντα τη καρτέρια των αγώνων σου καταισχύνας· χαίροις τροπαιούχε αήττητε, ο την πλάνην των ειδώλων τη αγία σφαγή σου εξαφανίσας· χαίροις Μάρτυς ακαταμάχητε, ο δια θρίαμβον νίκης παρά Χριστού κομισάμενος της αφθαρσίας το στέφος· ως έχων παρρησίαν προς Αυτόν τον Θεόν ημών πρέσβευε δεόμεθα σωθήναι ημάς.

Και νυν. Προεόρτιον.

Σπήλαιον ευτρεπίζου· η αμνάς γαρ ήκει, ἐμβρυον φέρουσα Χριστόν. Φάτνη δε υποδέχου, τον τω λόγω λύσαντα της αλόγου πράξεως, ημάς τους γηγενείς. Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα το φρικτόν και Μάγοι εκ Περσίδος, χρυσόν και λίβανον και σμύρναν, τω Βασιλεί προσάξατε· ότι ώφθη Κύριος εκ Παρθένου Μητρός· όνπερ και κύψασα, δουλικώς η Μήτηρ προσεκύνησε, και προσεφθέγξατο τω εν αγκάλαις αυτής· Πως ενεσπάρης μοι, η πως μοι ενεφύης, ο λυτρωτής μου και Θεός;

Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας.

Προφητείας Ησαΐου το ανάγνωσμα. (Κεφ. μθ , 9)

Τάδε λέγει Κύριος· Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην ίνα γνώτε και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Ἐμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ  ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ εστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και

έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός· ότι απ ἀρχῆς εγώ ειμι, και ουκ εστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος του Ισραήλ.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. γ , 1)

Δικαίων ψυχαί εν χειρί Θεοῦ, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. ε , 5-6, 1)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού, και απλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε, ουν, βασιλείς, και σύνετε· μάθετε δικασταί περάτων γης· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

## Εις την Λιτήν ιδιόμελα. Ήχος α΄.

Ως άλλος αστήρ αποστίλβων, ο λαμπρός οπλίτης Μαρίνος, πάσαν προκαλεί την υφήλιον, άστροις ουρανόν τον κοσμήσαντα, τον εξ ηλίου ήλιον, θεοσεβώς προσκυνήσαι, εκ Παρθένου σαρκί, προερχόμενον Θεόν ημών, προεορτάζοντες τοίνυν επί τη μνήμη του δούλου, τα του Δεσπότου γενέθλια, την θεϊκήν δοξάσωμεν συγκατάβασιν, ειρήνην και έλεος λαμβάνοντες ταις ψυχαίς ημών, του Αθλοφόρου δεήσεσι.

## Εις τον στίχον. Ήχος α'. Πανεύφημοι Μάρτυρες.

Πανένδοξε Μάρτυς του Χριστού, Αθλοφόρε πάνσεπτε, του μαρτυρίου το στάδιον, ότε κατέλαβες, ταις χερσί κατέχων, όλος αγαλλόμενος, το όπλον του Σταυρού το υπέροπλον, Χριστώ εκραύγαζες· στρατιώτης σου καγώ ειμι. Συ προστάτης γενού μοι και πρόμαχος.

Στ.: Θαυμαστός ο Θεός, εν τοις Αγίοις Αυτού.

Αθλούντι Μαρίνω καρτερώς, αγωνιζομένω τε, εν τω σταδίω ο Κύριος, ω στρατιώτά μου, τροπαιούχε λέγει, ο τερπνός Παράδεισος, η δόξα ουρανών η αιώνιος, σε νυν προσδέχονται, ο αμαράντινος ητοίμαστε, σοι της νίκης και άφθαρτος στέφανος.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος.

Μαρίνε πανεύφημε Χριστού, Μάρτυς παναοίδιμε, τους εκτελούντας την μνήμην σου, την αεισέβαστον, και τιμώντας πόθω, τους λαμπρούς αγώνάς σου, τους άθλους τα γενναία παλαίσματα, τας αριστείας σου, ψυχοφθόρου βλάβης λύτρωσαι, και κινδύνων ιεραίς πρεσβείαις σου.

Δόξα. Ήχος πλ. δ’ .

Επιποθών αναλύσαι ο της Χριστού αγάπης τετρωμένος Μαρίνος, και είναι συν αυτώ κατά Παύλον τον ουρανοβάμονα, παροξυνείν εσπούδαζε, τον παράφρονα τύραννον,αθλήσεως του αυτού επιτάξαι τέλος, όθεν αυτόν απατήσας τον ασεβή δικαστήν, ως προς τον βωμόν ελευσόμενος, και προσάξων θυσίαν, προσευχή θαυμασία καταβάλει τα είδωλα. Διόπερ ο τοις ξοάνοις επίσης αναίσθητος, αισχυνθείς άμα και θυμωθείς, του Αθλοφόρου την Κάραν τμηθήναι ξίφει εκέλευσε. Και ούτω προς τον ποθούμενον στεφανίτης απήλθε, συν Αγγέλοις χορεύων και απαύστως πρεσβεύων υπέρ των πίστει τιμώντων την αυτού θείαν μνήμην και πάνσεπτον.

Και νυν. Προεόρτιον.

Υπόδεξαι Βηθλεέμ…

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος α’ .

Τον αρίσταθλον Μάρτυρα, και οπλίτην πολύτλητον, τον θριαμβευτήν στρατιώτην, αθλητήν τε καλλίνικον, Μαρίνον υμνήσωμεν πιστοί, γενναίοις γαρ παλαίσμασιν αυτού, κατενίκησε το κράτος της εναντίας δυνάμεως. Δόξα τω δυναμώσαντι αυτόν· δόξα τω στεφανώσαντι· δόξα τω συν Αγγέλοις οικείν καταξιώσαντι.

Δόξα. Και νυν.Θεοτοκίον.Του Γαβριήλ…

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α’ στιχολογίαν, κάθισμα.

Ήχος πλ. δ’ Την σοφίαν και λόγον.

Προς το στάδιον ότε ο Αθλητής, επορεύου αθλήσαι υπέρ Χριστού, Αγγέλων τα τάγματα, αοράτως σε πάνσεπτε, εδορυφόρει τότε, ομού και ενίσχυε, ενέδρας των δαιμόνων απάσας διώκοντας, ότε δε ανδρείως, αγωνίζεσθαι ήρξω, δεινώς τιτρωσκόμενος πολυτρόποις κολάσεσι, τότε νίκης τον άφθαρτον, πλέκειν ήρξαντο στέφανον, ον μετά το τέλος

της σης δια ξίφους, γενναίας αθλήσεως, αναδέδησαι, υπ’ Αυτού του Δεσπότου σου.

Δόξα. Και νυν.

Την Σοφίαν και Λόγον…

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος δ’ . Ο υψωθείς.

Ο τροπαιούχος αριστεύς και γενναίος, ο ρωμαλέος Αθλοφόρος Μαρίνος, ανευφημείσθω σήμερον απαύστοις φωναίς, ούτος γαρ κατετροπώσατο, τον χαιρέκακον δράκοντα, σέβειν δελεάζοντα των ειδώλων την πλάνην, υπέρ Χριστού αθλήσας ανδρικώς, του στεφανούντος προμάχους της πίστεως.

Δόξα. Και νυν. Θεοτοκίον.

Τη Θεοτόκω εκτενώς…

Οι αναβαθμοί· το α’ Ἀντίφωνον του δ’ ἤχου.

Προκείμενον: Δίκαιος ως φοίνιξ ανθήσει, και ωσεί κέρδος η εν τω Λιβάνω πληθυνθήσεται…

Στ.: Ευφρανθήσεται δίκαιος εν Κυρίω.

Ευαγγέλιον Μαρτυρικόν.

Δόξα: Ταις του Αθλοφόρου…

Και νυν: Ταις της Θεοτόκου…

Ιδιόμελον· προς το Αναστάς ο Ιησούς. Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Χαριστήριον ωδήν η Εκκλησία πορφυρομένη, αίμασι τοις σοις αναμέλπειν σοι σοφέ, πανηγυρίζουσα.

Ο Κανών της Θεοτόκου· και του Αγίου.

Ωδή α’ . Ήχος β’ . Εν βυθώ κατέστρωσέ ποτε.

Εν βυθώ πολλών αμαρτιών καταποντιζόμενον, σε δυσωπώ έλκυσόν με Φιλάνθρωπε, όπως εν παλαίσμασι, τοις του Μάρτυρος, την αήττητον δύναμιν, η εν ασθενεία επιτελειούται, μεγαλύνω σου.

Τω Χριστού πανένδοξε θελχθείς κάλλει του Παντάνακτος, μάταιον κάλλος Μαρίνε απέρριψας, κόσμου και τερπνότητα, και μιμούμενος του Δεσπότου τα στίγματα, πόνους υπομένεις, τρώσεις χαλεπάς, και κολαστήρια.

Θυρεώ καλώς θωρακισθείς, ευσεβείας ένδοξε, των δυσμενών παρατάξεις εσκόρπισας, πλάνην κατηδάφισας, τα θρησκεύματα των δυσθέων ηφάνισας, ανδρικώς αθλήσας,ω Μαρίνε Μάρτυς παμμακάριστε.

Θεοτοκίον.

Χαίρε Κόρη πάγχαρτε σεμνή, χαίρε χαριτώνυμε, χαίρε Μαρία η Μήτηρ της χάριτος της χαράς η πρόξενος, το

χαρμόσυνον των Αγγέλων μελώδημα. Κεχαριτωμένη, η βροτείαν φύσιν χαριτώσασα.

Ωδή γ’ . Εν πέτρα με της πίστεως.

Εξέλαμψε πολύφωτον ώσπερ άστρον, Σταυρού καθοπλισάμενος τω θείω όπλω, Μαρίνος εν σταδίω Χριστόν κηρύττων, αλλ’ οι παράνομοι ώτα και όμματα, έχοντες ουκ ήκουον, ούτε έβλεπον.

Εξέπληξε και νόων αΰλων φύσιν, η τλήσις η πολύτλητος του οπλίτου, και Μάρτυρος Μαρίνου τιμωρουμένου, ούτος γαρ μάστιγας, στρέβλας και τραύματα, ως ουδέν ηγήσατο ο αοίδιμος.

Εξέχεεν η δύναμις της Τριάδος, μεγάλην Αθλοφόρε εν σοι την χάριν, το πυρ γαρ του τυράννου εν ω ερρίφθης, εις δρόσον έτρεψας κραυγάζων· δόξα Σοι τω Πατρί, τω Λόγω τε και τω Πνεύματι.

Θεοτοκίον.

Εξέβαλεν ο φθόνος του βροτοκτόνου, την φύσιν την βρότειαν του Παραδείσου. Η πάναγνος δε Κόρη εισάγει πάλιν Χριστόν τον Κύριον, κυοφορήσασα, τον θανάτου ρύσαντα τας ψυχάς ημών.

Κάθισμα. Ήχος γ’ . Την ωραιότητα.

Την γενναιότητα, της καρτερίας σου, και το υπέρμετρον, το της ανδρείας σου, ο δικαστής καταπλαγείς, εβόα τοις υπηρέταις, ποίον κολαστήριον, προσαγάγω τω Μάρτυρι; τίδε απεργάσωμαι, απορώ και εκπλήττομαι. Διο αποτμηθήναι προστάττει, ξίφει την κάραν σου Μαρίνε.

Δόξα. Και νυν. Θεοτοκίον.

Την ωραιότητα...

Ωδή δ’ . Εισακήοα Κύριε.

Των τυράννων θρασύτητα, τη του Χριστού ρωννύμενος δυνάμει, Μάρτυς ο γενναίος κατηγωνίσατο.

Των βασάνων δριμύτητα, τη του Χριστού φλεγόμενος αγάπη, ο στερρός οπλίτης, τρυφήν ηγήσατο.

Των ξοάνων κενότητα, τη του Χριστού λαμπόμενος μυήσει, Αθλητής ο θείος εξηφανίσατο.

Θεοτοίον.

Των Μαρτύρων Σε σύμμαχον, την τον Χριστόν τεκούσαν ο Μαρίνος, εν σταδίω Κόρη επεκαλέσατο.

## Ωδή ε’ . Ο άνθραξα τω Ησαΐα.

Συ άνθραξ εδείχθης θείος Αθλητά Πνεύματος, του παντουργού πυρί προσαναπτόμενος, και ειδώλων έφλεξας ύλην, θεοσεβείας φωτισμόν δωρούμενος.

Αδάμας στερρός εφανης λίθους τοις σέβουσι, πεπωρωμένοι γαρ ψυχήν οι άνομοι, εκπειρωμένοι διαρρήξαι την αρραγή σε πέτραν, εμωράνθησαν.

Λαμπρός ακτινοειδής τε τιμαλφής σάπφειρος, θείου φωτός ακτίσι φρυκτωρούμενος, ώφθης Μάρτυς Μαρίνε μάκαρ, ημάς φωτίσαι, Φωτουργόν ικέτευε.

### Θεοτοκίον.

Σοι ποίον προσάξω αίνον ω Θεού σκήνωμα; Ποίον εγκώμιον Αγνή Παντάνασσα; διο κράζω συν τω Αγγέλω· χαίρε Παρθενε, μετά Σου ο Κύριος.

## Ωδή στ’ . Εν αβύσσω πταισμάτων.

Κηρυττέσθω της νίκης ο θρίαμβος, του αδαμαντίνου Μαρίνου του Μάρτυρος, και εφυμνίων άνθεσι, στεφανούσθω οπλίτης ο ένδοξος.

Φαιδρυνέσθω το σύστημα σήμερον, των ορθοδοξούντων θεώμενον ξόανα, εις πλανώμενον έλεγχον, τη Μαρίνου ευχή συντριβόμενα.

Αγαλλέσθω Μαρτύρων ο σύλλογος, νέον οπαδόν τον Μαρίνον κτησάμενος, συναθλητήν ομότροπον, τη Τριάδι τους ύμνους συμψάλλοντα.

Θεοτοκίον.

Δοξαζέσθω το θείον και άρρητον, μέγα και ξενότροπον τούτο μυστήριον, εκ Κόρης γαρ Θεός τεχθείς, παρθενίαν και τόκον συνήψατο.

Κοντάκιον. Ήχος γ' . Η Παρθένος σήμερον.

Του γενναίου Μάρτυρος, τους άθλους πανηγυρίζει, η πιστών ομήγυρις, και την σφαγήν μακαρίζει, άρρηκτον, Χριστού οπλίτην διαγνωρίζει, άριστον δε, στεφανίτην επιφημίζει· ταύτης δε υπερασπίζει, εκ πάσης βλάβης, Μάρτυς ο ένδοξος.

Οίκος.

Τον τροπαιούχον Αθλητήν, και ήρωα ουράνιον, ον ο Χριστός επί της γης αξίως εθαυμάστωσε, τον λάμψαντα ως αστραπήν τη θεία ευσεβεία, και προσευχή ως κεραυνώ τα είδωλα της πλάνης εν τω βωμώ κατακρημνίσαντα, πρέσβυν προς Θεόν προβαλλόμεθα, δούναι ημίν θείαν έλλαμψιν, και κοσμικής ινδάλματα καταρριψαι ματαιότητος, όπως του καλλινίκου υμνήσωμεν στρατιώτου, τας εν τω φρικτώ

σταδίω γενναίας αριστείας και τα παλαίσματα, τω Θεώ προσαγαγόντος ώσπερ θυσίας το ίδιον αίμα, ω σεμνυνομένη την αυτού μνήμην γεραίρει η Εκκλησία. Ταύτης γαρ υπερασπίζει εκ πάσης βλάβης, Μάρτυς ο ένδοξος.

Συναξάριον.

Τη ΙΣΤ  του αυτού μηνός, μνήμη του Αγίου ενδόξου και πανευφήμου Μάρτυρος Μαρίνου.

Ωδή ζ’ . Αντίθεον πρόσταγμα.

Θηρίων τα χάσματα των ωμοβόρων, Χριστού ανενέργητα τη δυναστεία ώφθησαν Μαρίνε μακάριε, και παραδόξως ρυσθείς ασινής εδόξαζες, τον μόνον δυνατόν τε και υπερένδοξον.

Λεβήτων καχλάσματα, φλογμός εσχάρας, ουδόλως σου ήψαντο, πυρός εις δρόσον ένθεον, τραπέντος πανόλβιε, και θαυμασίως εκβάς αβλαβής εδόξαζες, τον μόνον δυνατόν τε και υπερένδοξον.

Τυράννων τεχνάσματα προς τιμωρίας, Μαρίνε διέλυσας ουδόλως εδειλίασας, ισχύν δε ανίσχυρον συ κατασχύνας αυτών, τον Θεόν εδόξαζες, τον μόνον δυνατόν τε και υπερένδοξον.

Θεοτοκίον.

Μαρτύρων τα τάγματα προς υμνωδίαν, αγνής Θεομήτορος, Μαρίνος άγει σήμερον, εξαρχών κραυγάζει δε· χαίρε το κλέος Αγνή Αθλητών και καύχημα, τον δυνατόν τεκούσα και υπερένδοξον.

Ωδή η’ . Τον εν καμίνω του πυρός.

Ως εν καμίνω του πυρός, δροσιζόμενοι ανύμνουν οι Τρεις Παίδες, ένδον λέβητος έστω, άδει Μαρίνος ωδήν την δρόσον ελάμβανον ουν άνισον· Κύριον υμνείτε βοών,εις στους αιώνας.

Ως εν τω λάκκω Δανιήλ έσχε λείχοντα, ου βρύχοντας τους θήρας, ουτωσί και Μαρίνος, δοθείς βορά τοις θηρσίν, ομοίας ηξίωται χάριτος, Κύριον υμνείτε βοών,εις στους αιώνας.

Ως θαυμαστά τε και φρικτά Παντοδύναμε τα έργα σου υπάρχει, Σων κτισμάτων γαρ φύσιν νεύματι τρέπεις τω Σω, δοξάζων τους θείους Σου Μάρτυρας, όθεν Σε υμνούμεν εις πάντας τους αιώνας.

Θεοτοκίον.

Τον ξένον Τόκον Σου Αγνή, Ον Τρεις Παίδες εν καμίνω προτυπούσιν, αλαξεύτω εν όρει προβλέπει δε Δανιήλ,

σταδίω Μαρίνος αγγέλλεται, πάσα δε η κτίσις υμνεί εις τους αιώνας.

Ωδή θ’ . Ανάρχου Γεννήτορος.

Γενναίοις παλαίσμασι, λαμπρώς αγωνισάμενος, και εχθρόν αποκτείνας συ τον υπέροφρυν, της σης καρτερίας τω ξίφει, κάραν σεπτήν αποτέμνη χαίρων, προς χώρον δε πνεύμά σου, επουράνιον ανίπλαται.

Των άθλων τα έπαθλα, των πόνων σου τα τρόπαια, τους της νίκης θριάμβους, λαμβάνεις ένδοξε, προς του αθλοθέτου Δεσπότου εν ουρανοίς, ακηράτου δόξης, την πάνσεπτον στέφοντος, κορυφήν σου διαδήματι.

Τριαδικόν.

Τριάδα την Άναρχον, αρχήν την υπεράρχιον, την αρχίζωον φύσιν, τον ένα Κύριον, υπέρ των τιμώντων σου Μάρτυς, μνήμην φαιδράν, ρύπου των παλαισμάτων, ρυσθήναι δυσώπησον, και τυχείν της θείας χάριτος.

Θεοτοκίον.

Ον τέτοκας άχρον Υιόν και υπερχρόνιον, Θεόν Λόγον εν χρόνω Αγνή μητράναδρε, τούτον καθικέτευε Κόρη, της ουρανών αιωνίου δόξης, αξίους ποιήσασθαι, τους τον Τόκον Σου δοξάζοντας.

Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.

Το ρωμαλέον έρεισμα, και ωράϊσμα Ρώμης, μαρτυρικών αθλήσεων τον μαρμάρινον όντως, και λαμπρόν εκμαγείον, το αμάραντον άνθος, Μαρτύρων το αμάρυγμα, τον γενναίον Μαρίνον μαρμαρυγαίς, νοητού λαμπόμενον μαργαρίτου, αξίως ευφημήσωμεν ασιγήτοις εν ύμνοις.

Θεοτοκίον προεόρτιον.

Ύμνον πιστοί προσάξωμεν....

Εις τους αίνους. Ήχος β’ . Οίκος του Ευφραθά.

Άδουσιν εν ωδαίς, ασμάτων αοράτως, εν ση αθλήσει νόες, των άθλων σου τα άθλα, πολύαθλε μηνύοντες. (Δις)

Χαίρουσιν οι χοροί, των θείων Αθλοφόρων, προς ένα χώρον σχόντες, συμψάλλοντα Μαρίνον, αυτοίς και συγχορεύοντα.

Νάουσιν εν ναώ, του Μάρτυρος Μαρίνου, κρουνούς ως από κρήνης, πολυτελών χαρίτων, τα λείψανα τοις χρήζουσι.

Δόξα. Ο αυτός.

Η εκ λαμπρών αγώνων σελαγίζουσα μνήμη του Μάρτυρος, την υπέρλαμπρον προμηνύει, των γενεθλίων ημέραν, του σαρκί εκ Παρθένου επιδημούντος ημίν προαιωνίου Λόγου. Δεύτε ουν πιστοί, τα του Αθλητού γεραίροντες τρόπαια, άσματα προεόρτια θεοπρεπή προηχήσωμεν, δόξαν

προσφέροντες ευχαριστήριον, τω προερχομένω Δεσπότη ημίν χαρίσασθαι, ξένην ανάπλασιν και αναγέννησιν.

Και νυν. Προεόρτιον.Ιδού ο καιρός ήγγικεν...

Δοξολογία Μεγάλη και Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα τυπικά, και εκ του Κανόνος, ωδή γ’ καὶ στ’ .

Απόστολον και Ευαγγέλιον ζήτει εις Μάρτυρας.

Μεγαλυνάριον.

Πόθω σε φλεγόμενον προς Χριστόν, φλοξ πυρός ου φλέγει, ευσεβείας δε θυρεώ, τεθωρακισμένον, οι θήρες ου θηρώνται, πανένδοξε Μαρίνε σε μακαρίζομεν.

